24B. THE HEALING OF PETER’S MOTHER-IN-LAW (Mk-Lk Identical)

| Mark 1:29-34 | Luke 4:38-41 |
|---|---|
| *29 Καὶ εὐθὺς ἐκ τῆς συναγωγῆς ἐξελθόντες* | *38 Ἀναστὰς δὲ ἀπὸ τῆς συναγωγῆς* |
| *ἦλθον εἰς τὴν οἰκίαν* | *εἰσῆλθεν εἰς τὴν οἰκίαν* |
| *Σίμωνος καὶ Ἀνδρέου* | *Σίμωνος.* |
| *μετὰ Ἰακώβου καὶ Ἰωάννου.* | |
| *30 ἡ δὲ πενθερὰ Σίμωνος* | *πενθερὰ δὲ τοῦ Σίμωνος ἦν* |
| *κατέκειτο πυρέσσουσα,* | *συνεχομένη πυρετῷ μεγάλῳ,* |
| *καὶ εὐθὺς λέγουσιν αὐτῷ* | *καὶ ἠρώτησαν αὐτὸν* |
| *περὶ αὐτῆς.* | *περὶ αὐτῆς.* |
| *31 καὶ προσελθὼν ἤγειρεν αὐτὴν* | *39 καὶ ἐπιστὰς ἐπάνω αὐτῆς* |
| *κρατήσας τῆς χειρός·* | |
| | *ἐπετίμησεν τῷ πυρετῷ,* |
| *καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός,* | *καὶ ἀφῆκεν αὐτήν·* |
| *καὶ* | *παραχρῆμα δὲ ἀναστᾶσα* |
| *διηκόνει αὐτοῖς.* | *διηκόνει αὐτοῖς.* |
| *32 Ὀψίας δὲ γενομένης,* | |
| *ὅτε ἔδυ ὁ ἥλιος,* | *40 Δύνοντος δὲ τοῦ ἡλίου* |
| *ἔφερον πρὸς αὐτὸν* | *ἅπαντες ὅσοι εἶχον* |
| *πάντας τοὺς κακῶς ἔχοντας* | *ἀσθενοῦντας* |
| | *νόσοις ποικίλαις* |
| *καὶ τοὺς δαιμονιζομένους·* | *ἤγαγον αὐτοὺς πρὸς αὐτόν·* |
| *33 καὶ ἦν ὅλη ἡ πόλις ἐπισυνηγμένη πρὸς τὴν θύραν.* | |
| | *ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς* |
| *34 καὶ* | |
| *ἐθεράπευσεν* | *ἐθεράπευεν* |
| *πολλοὺς κακῶς ἔχοντας* | *αὐτούς.* |
| *ποικίλαις νόσοις,* | |
| *καὶ δαιμόνια πολλὰ ἐξέβαλεν,* | *41 ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν,* |
| | *κραυγάζοντα καὶ λέγοντα ὅτι* |
| | *Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ.* |
| *καὶ οὐκ ἤφιεν λαλεῖν τὰ δαιμόνια,* | *καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν,* |
| *ὅτι ᾔδεισαν αὐτόν.* | *ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.* |

52 words out of 183 words = 28%